Scholia on Aelius Aristides: Leuctric Oration IV by Scholia on Aelius Aristides

4 *ΛΕΥΚΤΡΙΚΟΣ Δ΄.*

4.457,2 οὐ γὰρ ἦν ἄρα ἁπλᾶ εὐθὺς ἡ κατασκευή.

4.458,7 ἐφ᾽ αὑτῶν μένειν ἀντὶ τοῦ ἡσυχάζειν.

4.459,5 ἔτι τοίνυν Θηβαίους μὲν οὐδεπώποτε τῆς ἡγεμονίας ἴσασι τυχόντας διὰ τὸ δεῖσθαι ἡμῶν.

4.459,11 Θηβαῖοι δὲ κἂν αὐτοί μοι σύμβουλοι γενέσθαι δοκοῦσιν τό μοι πρὸς τὸ δοκοῦσι· λείπει δὲ τὸ ἑαυτοῖς· ἵνα ᾖ οὕτως· Θηβαῖοι δὲ δοκοῦσί μοι καὶ αὐτοὶ ἑαυτοῖς σύμβουλοι γενέσθαι.

4.460,9 οἱ μέχρι τοσούτου φιλοῦντες Λακεδαιμονίους, ὅσον τοῦ Θηβαίους μισεῖν ἀφελεῖν ἦν ἄξιον τοσοῦτον, φησὶν, οὗτοι φιλοῦσι Λακεδαιμονίους, ὅσον ἦν ἄξιον ἀφελεῖν τὸ μῖσος τοὺς Θηβαίους. τοῦτο δὲ λέγει ἵνα δείξῃ αὐτοὺς κατὰ δύο τρόπους ἁμαρτάνοντας· καὶ ὅτι πάνυ φιλοῦσι Λακεδαιμονίους μισεῖν ὀφείλοντες, καὶ πάνυ μισοῦσι Θηβαίους φιλεῖν ὀφείλοντες.

---

https://eulogikon.org/works/scholia-aelius-aristides-leuctric-oration-iv-yds-ak · eul_wid yds-ak · Diogenes Lab reading page c222c200c311